# Mélos proseukhtikòn epì proseleúsei eis Aboàn ... Ioánnu Gezelíu tû neotéru...

Ståhlberg, Georgius

*1 Ic 1681 Gezelius*

KUNGL. BIBLIOTEKET
National Library of Sweden

# ΜΕΛΟΣ ΠΡΟΣΕΥΧΤΙΚΟΝ

ἐπὶ

προσελεύσει εἰς Ἄβωαν τῇ ἐπιποθητοτάτῃ

Αἰδεσιμωτάτου τοῦ ἐν Χριστῷ πατρὸς καὶ Κυρίου,

## Κυρ. ΙΩΑΝΝΟΥ ΓΕΖΗΛΙΟΥ ΤΟΥ ΝΕΩΤΕΡΟΥ

Joh. Gezelius

Ἐντεθηκασμένης τῆς Θεολογίας Δοκτόρος εὐκλεεστάτου

ἐν τῷ

Τὴν τῶν ἐκκλησιῶν ἐν Ναρουᾳ καὶ τῶν ἐν κύκλῳ αὐτῆς διοίκησιν περικλυτωτάτην αὐτὸν καταλείπεσθαι, ἐπισκοπῆς τε καὶ μεγαλωνυμωτάτης τῆς Ἀβοικῆς ἀντιλαβεῖν· Ὀνόματι πάντων τῶν ὑπὸ τοῦ Ἑκάτου σημείῳ ἐν τῷ τῶν μυσῶν πρὸς Αὐραν ἐνδοξοτάτῳ λυκείῳ ἰσχυρῶς στρατευομένων, ἁπλῶς μὲν, ἀλλὰ ταπεινοτάτως ἐκκεκηρυγμένον

ἀπὸ τοῦ

Georgius

## ΓΕΩΡΓΙΟΥ τοῦ Stålberg/

Νοτοφιλ.

Φιλαναπλικογλώττου

Ἐν ἈΒΩΑ τετυπωμένον ἀπὸ ἸΩΑΝΝΟΥ τοῦ ὈΥΑΛΛΙΟΥ,
τῆς Βασιλ. Ἀκαδ. Τυπογρ. τῷ ἔτει ᾳχπθ.

17

1681

## ἸΩΑΝΝΗΣ Ὁ ΓΕΖΗΛΙΟΣ ΝΕΩΤΕΡΟΣ ἘΠΙΣΚΟΠΟΣ ἹΕΡΟ-ΠΡΕΠΕΣΤΑΤΟΣ

Ἀναγραμματιζόμενος.

διὰ μεταβολ. τοῦ τ. εἰς π.

## ἭΛΙΟΣ ΖΩΟΤΕΡΟΣ ἘΠΙ ΣΙΝΑ ὌΡΕΙ ἮΓΕ ΣΤΡΑΤΟΝ· Ὧ ΣΚΟΤΟΣ ἜΠΠΕΣΕΝ.

Χαῖρε γλυκεῖα πόλις, μεγάλη τε σὺ Φεννία χαῖρε,
Χαίρετε καὶ μοῦσαι, χαῖρε λύκειον ἄκρον·
Ὅττι πάρεστιν ἀνὴρ μεγάλαις ἀρεταῖς ἐπίσημος,
Δοκτὼρ τῆς ζαθέου ὅττι πάρεστι μέγας
Πίστεως, αὐτὸς ἀγαυὸς ἀνὴρ, μέγας ἐστὶ καὶ ἥρως,
Καὶ μέγα τῆς σοφίας σέελόν ἐστι Θεοῦ.
Ὃς πρώτων ἀπὸ τῶν νεότητος ἐτῶν, διὰ παντὸς
Ταῖς γλώτταις πολλαῖς πάντα δέδωκε χρόνον,
Πράγμασι, καὶ σοφίᾳ ζαθέῳ, σπουδαῖς τε μεγίσταις,
Ταῖς ἀρεταῖς τε πολὺν παιδίον εἶχε πόνον.
Καὶ γεγονὼς νεανίσκος ἀνὴρ πολλὰς διοδεύει
Χώρας, καὶ ἐθνῶν πολλὰ σύνοιδεν ἔθη,
Γερμανικῆς τε γέας ποτάμους, μούσας τε πρὸς Ἄλβιν,
Τοὺς Γαλλοὺς, Βατάβους εἶδε καὶ Ἄγγλους ὁμοῦ,
Αὐτῶν τὰς γλώσσας τὰ ἔθη καὶ δόγματ᾽ ἐρευνῶν,
Πάσης τῆς Δύσεως πράγματα πάντα νοῶν,
Πολλὰ λύκεια σύνοιδεν ἐκεῖ, ἑκάτου τε καθέδρας·
Γραιῶν, ἑβραιῶν, τῶν ἀράβων τε Συρῶν,
Αἰθιοπῶν, ἐθνῶν ἀγνώστων, τῶν Σαμαρειτῶν
Γράμματα καὶ γλώττας αὐτὸς ἐκεῖ ἔμαθε.
Πλούσιος, ὡς οἶμαι, μετὰ ταῦτ᾽ ἐπανῆλθεν ἐς οἶκον
Θησαυρῶν καινῶν εὔπορος οὗτος ἀνὴρ,
Ἐνθάδε εὐθὺ λαβὼν στέφανον, διάδημά τε τιμῆς
Δοκτόρος εὐσεβέος τοὔνομά, φημι, μέγα.

Και

Κῦδος ἐκεῖνο, κλέος, μόνον οὐ μὴ ἀρκετὸν αὐτῷ,
Ἀλλὰ γραφῆς ἁγίας γίγνεται εὐθὺ ἄκρος
Ὢ δὲ διδάσκαλος, ἐν τούτῳ δεκτῶς τε λυκείῳ
Καὶ ἄκρον πρὸς τοῦτο καθῆκον ἄγει.
Καὶ ὅπ πρὸς ἐὴν, νεότητος σύμφερον ἀεὶ
Ζητῶν, τοῖς πολλοῖς γνῶσιν ἔδωκε Θεοῦ,
Εἶτα δὲ τῶν καμάτων, διδαχῆς τε πόνων τε μεγίστων
Καὶ λοιπῶν ἀρετῶν αὐτὸς ἀκούει ἄναξ
Εὐθὺ καλεῖ αὐτὸν πρὸς Narfwen/ ἐπίσκοπον εἶναι
Ἤθελεν αὐτὸν ἐκεῖ, ποιμένα πρῶτον ὁμοῦ.
Τοῦ θ' ὑπερουρανίου λόγον ὥστε Θεοῦ ἐδίδαξε
Δήμους τοὺς τυφλοὺς, ῥῆμα μαθεῖν καθαρόν.
Βάρβαρα ἔθνεα ἦγεν ὅπου τὴν πίστιν ἐς ὀρθὴν,
Ἰγγελάδων ἐπίσης λαὸν ἔτρεψε πολύν,
ἭΛΙΟΣ ὡς ἘΠῚ ΣΙΝΑ͂ ὌΡΕΙ ΣΚΌΤΟΣ ἬΓΕ ΣΤΡΑΤΟΝ τε
Φῶς λάμπει ΣΚΌΤΟΣ ὪΝ ἜΒΠΕΣΕΝ αὐτοῦ παχὺ,
ΖΩΌΤΕΡΟΣ πάντας περιλάμπει Ἰγγελίδος ὄχλους
Ἥλιος, αὐτὸ φάος, φημὶ ΓΕΖΉΛΙΟΣ ἦν.
Αὐτὸς τὴν πᾶσαν διοδεύει Ἰγγελίδα, πίστιν
Δοὺς πᾶσι, Χριστοῦ καὶ ἀπέδειξεν ὁδὸν,
Γνῶναι τὸν Χριστὸν σωτῆρ' ἐδίδαξεν ἀγλαὸν,
Βαπτισθῆναι ὁμοῦ θῆλυ καὶ ἄρσεν ἐᾷ.
Ρῆμα γὰρ ἐστὶ βροτῶν ζαθέων, καὶ αὐτὸ παλαιὸν,
Ἀνθρώπου φανερῶς ἄξιον εὐσεβέος.
Χριστὸν εἰ εὖ οἶδας, φρονέεις, εἰ κ' ἄλλα μὴ οἶδας·
Ἀρκετὸν ἀνθρώποις τοῦτο γὰρ ἐστὶ καλοῖς,
Χριστὸν εἰ οὐκ οἶδας, μαίνῃ, εἰ κ' ἄλλα σὺ οἶδας,
Τὸν Θεὸν ὃς συνέχει, κέρδος ἄριστον ἔχει.
Τοῦτο σὺ, πιστὲ πάτερ, Χριστοῦ ποίησας ἐν αὐλῇ
Τοιοῦτόν τε μέλει σοι περὶ τῶν προβάτων
Ποιμνίου ἧς ἔφορος πιστὸς σωτῆρος ἀγλαοῦ.
Τὰς ψυχὰς πολλὰς ἤδ' ἐνικάς τε Θεῷ,
Τοὔνεκα δάκρυσιν Ἰγγρὶς ὅλη σοι νῦν ἀκολουθεῖ,
Δοκπέει καὶ μεγάλῳ ἔσχατον ὧδε μέλος,

Τὰς

Τὰς καρδίας πάντων γέμισε κλαυθμὸς καὶ ὀδυρμὸς,
Θρῆνος, ἄχος τε λύπη ἤτορα πάντα κλονεῖ.
Ὧδε νέοι πικρῶς κλαίουσι, γέροντες ἅπαντες,
Ἄνδρες καὶ παῖδες, τοῦτο γυναῖκες ὁμοῦ.
Χαίρει ἀλλὰ χαρᾷ μεγάλῃ πόλις οὖσα πρὸς Αὐρὰν,
Χαίρει καὶ μουσῶν πλῆθος ἐκεῖνο πολὺ,
Πάντες καὶ ἀγαθοὶ πόλεως χαίρουσιν ἔνοικοι.
Μικροὶ καὶ μεγάλοι φαῖδρα φέρουσιν ἔπη·
Νῦν ὅτι τῆς σοφίας ἀνατέλλεται ἥλιος αὐτοῖς,
Ἐν βορεᾷ τε φάος πάντες ὁρῶσι μέγα.
Ὄλβιος εἶ σὺ ἄδηλος Ἀβωὰ, τελοσόλβιος εἶ σὺ,
Δαίμονά σε φράζω, ναί σε μάκαιρα λέγω.
Ὧ τοιοῦτος ἀνὴρ δίδοται, πολύγλωττος, ἀγαυὸς,
Οὗ κλέος ἐν κόσμῳ γνώριμόν ἐστιν ὅλῳ.
Ἐνθάδε οὐ πρότερον δῶρον καὶ τοὔνομα γνωστόν·
Ἥδομαι οὖν ταύτης εἵνεκα πᾶσι τύχης.
Ὄλβιος εἰσελθὼν, πάτερ, ἡμῶν ἄστυ πρὸς Αὐράν.
Ἀνδρῶν δόξα σοφῶν, πρεσβυτέρων τε κλέος.
Αἰδεσιμώτατ᾽ ἄνερ, νῦν τοῦτο καθῆκον ἐφάπτου
Εὐτυχέως, δαίμων ζῆσον ἕως τε θανεῖν.
Ἴσθι πολὺν χρόνον Ἀβοικῶν σὺ ἐπίσκοπος ἀκμῆς,
Προστάτης ἡμῶν ἴσθι λυκείου ἄκρος,
Ζῆσον ἔτη καὶ πλεῖστα Θεῷ, σοὶ καὶ βασιλῆϊ
Καὶ στέφανον δόξης ναὶ τῶδε χελσὸν ἔχεις.